τῷ ἀδὰμ πνοὴν ζωῆς· καὶ πεσὼν ἡμεῖς ἐγείρεται· καὶ συνεγείρει τὴν αὐτότητα· καὶ τί ἂν καταλέγοιμι πάντα τοῖς βουλομένοις ποριαθέντα τοιαῦτα, ἃς προὔπτους κἀμέν· ἀπαξάπαντα λόγον τὴν τῆς ἐδὲμ ἀναπετάσαντα ἄσοδον· οὐκοῦν μεταβάντες ἐντεῦθεν, καὶ ὥσπερ κἀνὰς παρακύψωμεν τὰς γραφὰς, ὅσας δι' ἡνοίγει γενόμενος· οὐ μόνον τοῖς περὶ τὸν κλεόπαν καὶ μετὰ τὴν ἀνάστασιν, ἀλλά γε καὶ πρὸ τοῦ πάθους καὶ πρὸς ἰουδαίους διαλεγόμενος· ἀβραὰμ λέγων ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμήν· καὶ εἶδε· καὶ ἐχάρη· πῶς εἶδεν ἀβραὰμ καὶ πότε καὶ τίνα δῶρον τίκτων εἶδεν ἡμέραν· ἡμέραν μὲν εἶδε, τὴν τοῦ θανάτου· οὕτω τῆς γραφῆς τὴν τελευτὴν καλούσης· προβλέπει γάρ φησιν ὅτι ἡ ἔξοδος αὐτῶν· εἶδε συμβολικῶς, καὶ ὅτε τὸν υἱὸν ἀνενεγκεῖν εἰς ὁλοκάρπωσιν προσετέτακτο· οὐκ ὀκνῶ ἐροῦντε καὶ τὰ σύμβολα παρεξετάσαι πρὸς τὴν ἀλήθειαν· υἱὸς ἐκεῖ μονογενὴς ἀγαπητὸς, ἰσαάκ· γέλως τοῦτ' ἔστι χαρὰ μετὰ γέλωτι ἰζόμενος· ἐνταῦθα υἱὸς θεοῦ μονογενὴς καὶ οὗτος ἀγαπητὸς καὶ χαρμονὴ παγκόσμιος· καὶ γεννηθέντα τοῖς ποιμέσιν ἰδοὺ φησὶν ὁ ἄγγελος εὐαγγελίζομαι ὑμῖν χαρὰν μεγάλην· ἥτις ἔσται παντὶ τῷ λαῷ· ὅτι ἐτέχθη ὑμῖν σήμερον σωτὴρ ὅς ἐστι χριστὸς κύριος· οὐκ ἐφείσατο ἀβραὰμ τοῦ ἀγαπητοῦ υἱοῦ, διὰ τὸν θεόν· ἀλλ' οὐδὲ θεὸς ἐφείσατο τοῦ ἰδίου υἱοῦ δι' ἡμᾶς· ἰσαὰκ ὡς θυσίαν ἀγόμενος, τὰ ξύλα τῆς ὁλοκαυτώσεως ἐπὶ τῶν ὤμων ἐβάσταζε· καὶ χριστὸς βαστάζων τὸν σταυρὸν αὐτοῦ, ἐπὶ σφαγὴν εἵλκετο· ἐκεῖ ἀφεθέντος τοῦ ἰσαὰκ ἀντ' ἀνηνέχθη κριός· ὥσπερ ὡσανεὶ ὡς τεθυμένος ὥσπερ ἡ θεότης τῇ διερμηνευθεῖσα· οὕτως ἀβραὰμ ἠγαλλιάσατο ἵνα ἴδῃ τὴν